ἀρθρ. ϛιχ.
πάρεισι γὰρ τῷδ᾽ ἔμφυτα δρῶντα σθένη(σ)· ε. 97 ϗ ἑξ.
ἧττον τ᾽ ἐπαρκεῖ ταῖς φύσει κινήσεσι (τ),
ταῖς καρδίας δὴ, ταῖς πνοῆς, ταῖς ἐντέρων,
ταῖς ἐν διακρίσει τε, φημὶ, κἀκκρίσει,
ἢ ταῖς νοήσει ταῖς τε τῇ προαιρέσει,
αἵγ᾽ ἐκτελοῦνται τῆσδ᾽ ἐνεργείᾳ μόνῃ,
κἂν εἴγ᾽ ἐπ᾽ ἀμφοῖν εἰσιν αἱ ῥέπουσί πως.
ἥκιστα τ᾽ ἐγγὺς ταῖσδ᾽ ἐπαρκεῖ κἀμέσως (υ),
πόῤῥω δὲ συμπάσαισιν ἐμμέσως τέ πως,
λεπτοῦ δι᾽ ὑγροῦ κὠξυκινήτου πάνυ
ἐξ ἐγκεφάλου πρὸς τὰ νεῦρ᾽ ἱκνουμένου. ε. 86.-89.
ὃ πλησίον πως τῆς δὲ τῇ φύσει πέλον,
ἅτ᾽ ὄψιν ἐκφεῦγον τε τὴν ἁφὴν θ᾽ ἅλις,
μέσον τ᾽ ἀΰλου τῆς ἐνύλου τ᾽ οὐσίας (φ),
ἀμφοῖν ξυνάπτειν τὰς ἐνεργείας ἔχει·
ὡς ψυχικῶν δῆλ᾽ ἐξ ἐνεργειῶν τάδε,
ἔκτ᾽ ἐγκεφάλου μηχανῆς νεύρων θ᾽ ἅλις.
ἔμψυχόν ἐστι σῶμα τοίνυν ζῶν τόδε
ἅτ᾽ ἐννοήσει δρῶν τε καὶ προαιρέσει, ϛ. 137.
αἰσθήσεώς τε τῷ ᾽κτὸς ἐντός τε σθένει.

Α᾽Λ᾽

---

(σ) Γαλην. περὶ φυσικ. δυνάμ. Α. α. -- ιγ. Β. γ. μυῶν κινήσ. Α. ιβ. -- ις. Β. η. (τ) περὶ τῶν καθ᾽ Ἱπποκ. καὶ Πλάτ. δογμάτ. Η. α. σπασμοῦ καὶ ῥίγους θ. (υ) περὶ συστάσ. Ἰατρικ. δ. περὶ τῶν καθ᾽ Ἱπποκρ. ϗ Πλάτ. δογμάτ. Ζ. α. -- ιγ. Η. α χρείας τῶν ἐν ἀνθρώπ. σώμ. μορ. Η. ϛ. ὑπομν. ε. ἐπιδημ. ϛ. (φ) περὶ χρείας ἀναπν. ιβ.